γεται τὸ ἐντὸς τῶν ῥάβδων, ὃ ἐξαίρουσιν οἱ βουλόμενοι κενῶσαι τὴν ῥάβδον εἰς σύριγγα. ἢ αὐλὸν, ἤ τι τοιοῦτον. ἐντερειωνίδα δὲ, τὰ καλούμενα ἐγκοίλια τῶν νεῶν Ἀριστοφάνης ὠνόμασεν.

Σχόλια. Τρία καὶ δύο. τρία μέρη ὕδατος ἐπιδεχόμενον. οἴνου δὲ δύο. ἀρίστη δὲ κρᾶσις. οἴνου δύω μέρη καὶ ὕδατος τρία. Ἐνετερειώνισεν.] εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο, ἵνα παίξῃ παρὰ τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν ὅτι καὶ ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸ ἐποίησεν, ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος. ἢ ὡς ἀπὸ τῶν

A τριῶν κραμάτων. ἢ ὡς ἀπὸ Τρίτωνος ποταμοῦ Λιβύης, παρ᾽ ᾧ ἐτέχθη ἡ Ἀθηνᾶ. βωμολόχον δὲ, πανοῦργον ληστρικόν. Ὁρᾷς τάδε.] τὰ λαγῷα δείκνυσιν αὐτῷ, καὶ χλευάζει ὡς οὐκ ἔχοντα. Τίνες.] οἱ μὲν τὸ αὐτὸ πρόσωπον. ἵν᾽ ᾖ τινές. οἱ δὲ, τοῦ Κλέωνος. ἵν᾽ ᾖ ἐρωτηματικῶς τίνες; Ποῦ, ποῦ.] ὁ Ἀγοράκριτος μεθόδῳ χρῆται πρὸς Κλέωνα. καὶ ἁρπάζων τὰ τοῦ Κλέωνος λαγῷα, δίδωσι τῷ δήμῳ. Οὐκ ἐάσεις.] λείπει ἐπιφοιτῆσαι. Καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.] ἥρπασας δηλονότι ἀπὸ Δημοσθένους τοῦ στρατηγοῦ.

B

Αλλ. Τὸ μὲν νόημα τοῦ θεοῦ. τὸ δὲ κλέμμ᾽ ἐμόν.
Κλ. Ἐγὼ δ᾽ ἐκινδύνευσ᾽. Αλλ. ἐγὼ δ᾽ ὤπτησά γε.
Δη. Ἄπιθ᾽. οὐ γὰρ, ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
Κλ. Οἴμοι κακοδαίμων, ὑπεραναιδευθήσομαι.
Αλλ. Τί οὐ διακρίνεις δῆμ᾽, ὁπότερός ἐστι νῷν
Ἀνὴρ ἀμείνων περὶ σὲ, καὶ τὴν γαστέρα;
Δη. Τῷ δῆτ᾽ ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ,
Δόξαιμι κρίνειν τοῖς θεαταῖσι σοφῶς;

*AG. Deæ est excogitare: furari est meum.*
*CL. At ego periclitatus sum. AG. assaui autem ego.*
*PO. Abi: non tua, sed apponentis gratia est.*
*CL. Ah me miserum, qui vincor impudentia.*
*AG. Cur non dijudicas, vter nostrûm tibi*
*Tuoque ventri vir siet fidelior?*
C *PO. Et quo vsus argumento, spectatoribus*
*Videar dijudicasse iam sat candide?*

Σχόλια. Τὸ μὲν νόημα τοῦ θεοῦ.] τοῦτο πρὸς τὴν ἀλαζονείαν τῶν δημαγωγῶν. εἰώθασι γὰρ λέγειν, ὅτι ἡ μὲν θεὸς ὑπέβαλλέ μοι. ἥρπασα δὲ ἐγώ. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀσεμνύνονται, λέγοντες τὰς ἑαυτῶν ἐπινοίας τοῦ θεοῦ. Ὑπεραναιδευθήσομαι.] τῇ ἀναιδείᾳ νικηθήσομαι. οὗτος ἀναιδέστερός μου φανήσεται.

---

Bisetus. Ἐπειδὴ ἐν τῇ τῆς δημοτικῆς εὐνοίας θηρεύσει οὐδέτερος ἑτέρῳ ἐνδιδοὺς ὑπεῖκεν, Ἀγοράκριτος τῷ δήμῳ συμβουλεύει τὴν ἀμφοτέρου κίστην σιωπῇ, καὶ λάθρα ξυλλαμβάνειν, καὶ βασανίζειν τὰ ἐν αὐτῇ

D ὄντα. ὁποτέρου δὲ κίστην καταλάβοι κενὴν, τοῦτον ἀγαθὸν, καὶ εὔνουν τῷ δήμῳ κρίνειν, οὗ δὲ παντοίων ἀγαθῶν ἔμπλεον εὕροι, τοῦτον τῶν δημοσίων χρημάτων κλέπτην, καὶ τῇ πόλει πολέμιον ἡγεῖσθαι.

Αλ. Ἐγώ φράσω σοι, τὴν ἐμὴν κίστην ἰὼν,
Ξύλλαβε σιωπῇ, καὶ βασάνισον ἅττ᾽ ἔνι,
Καὶ τὴν Παφλαγόνος. κἀμέλει; κρινεῖς καλῶς.
Δημ. Φέρ᾽ ἴδω, τί οὖν ἔστ᾽. Αλλ. ἀλλ᾽ ἄγ᾽ οὐχ ὁρᾷς κενὴν
Ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
Δη. Αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
Αλ. Βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
Ὁρᾷς νῷν; Δη. οἴμοι τῶν ἀγαθῶν ὅσων πλέα,
Ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο.
Ἐμοὶ δ᾽ ἔδωκεν ἀποτεμὼν τυννουτονί.
Αλ. Τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο.
Σοὶ μὲν προσεδίδου μικρὸν, ὧν ἐλάμβανεν.
Αὐτὸς δ᾽ ἑαυτῷ παρετίθει τὰ μείζονα.
Δημ. Ὦ μιαρὲ κλέπτων δῆμε ταῦτ᾽ ἐξηπάτας,
Ἐγὼ δέ τυ ἐστεφάνιξα κἀδωρησάμην.
Κλ. Ἐγὼ δ᾽ ἔκλεπτον ἐπ᾽ ἀγαθῷ γε τῇ πόλει.

*AG. Ego hoc dicam tibi, vade, & cistam meã*
*Clàm surripe, & quæ sunt intus perquirito.*
*Cape item Paphlagonis, ac tace: sat commode*
E *Feres sententiam. PO. sine videam. AG. quid? an*
*Meam non cernis vacuam, mi patercule?*
*Nam ego omnia, quæ possederam, tibi obtuli.*
*PO. Hæc certè cista, quæ populi sunt, prospicit.*
*AG. Accede nunc ad hancce cistam Paphlagonis.*
*Viden? PO. proh Iuppiter, quibus completa est bonis?*
F *Quantum Paphlago placentarum in ea reposuit?*
*Mihi, quod præciderat, tantillulum dedit.*
*AG. Atque hæc eadem ille factitauit antehac.*
*Nam portiunculam minorem tibi dedit.*
*Ipse sibi maiorem reseruauit scelus.*
*PO. O fur sceleste, qui me his fraudasti dolis.*
*At ego coronatum te ornaui præmiis.*
*CL. Ego furatus sum propter vrbis commoda.*

G

Σχόλια. Τὴν ἐμὴν κίστην.] τὴν κιβωτόν. ταύτῃ δὲ διενήνοχεν. ὅτι ἡ μὲν, εἰς ὑποδοχήν ἐστιν ἐδεσμάτων. ἡ δὲ, ἱματίων καὶ χρυσοῦ ἡ κιβωτός. Τὰ τοῦ δήμου φρονεῖ.] ἀντὶ τοῦ δωροδοκεῖται. τὴν τοῦ ἀλλαντοπώλου δέ φησιν, ὅτι πάντα τῷ δήμῳ παρέθηκεν. Τυννουτονί.] δεικτικῶς συλλαβὼν τοὺς δακτύλους φησὶ Φαεινὸς ἀντὶ τοῦ μικρόν. Ἐγὼ δέ τυ.] τὸ τύ δωρικῶς. ἀντὶ τοῦ σέ. ἔπαιξε δὲ παρὰ τὸ δωροδοκεῖν, δωρεῖς εἰρηκώς. τὸ δὲ ἐστεφάνιξα, ἀντὶ τοῦ στεφάνοις ἐτίμησα. δημοσίᾳ γὰρ ἐτιμήθη ὁ Κλέων στεφάνῳ. μιμεῖται δὲ τοὺς εἵλωτας, ὅταν στεφανῶσι τὸν Ποσειδῶνα.

Δη. Κα-